# 8. ΑΛΚΙΜΕΔΟΝΤΙ ΑΙΓΙΝΗΤΗι

ΠΑΙΔΙ ΠΑΛΑΙΣΤΗι

Στ. α’.

Μᾶτερ ὦ χρυσοστεφάνων ἀέθλων, Οὐλυμπία,
δέσποιν’ ἀλαθείας, ἵνα μάντιες ἄνδρες
ἐμπύροις τεκμαιρόμενοι παραπειρῶνται Διὸς ἀργικεραύνου,
εἴ τιν’ ἔχει λόγον ἀνθρώπων πέρι
μαιομένων μεγάλαν
ἀρετὰν θυμῷ λαβεῖν,
τῶν δὲ μόχθων ἀμπνοάν·

᾿Αντ. α’.

ἄνεται δὲ πρὸς χάριν εὐσεβείας ἀνδρῶν λιταῖς·
ἀλλ’ ὦ Πίσας εὔδενδρον ἐπ’ ᾿Αλφεῷ ἄλσος,
τόνδε κῶμον καὶ στεφαναφορίαν δέξαι· μέγα τοι κλέος αἰεί,
ᾧτινι σὸν γέρας ἕσπητ’ ἀγλαόν.
ἄλλα δ’ ἐπ’ ἄλλον ἔβαν
ἀγαθῶν, πολλαὶ δ’ ὁδοί
σὺν θεοῖς εὐπραγίας.

᾿Επ. α’.

Τιμόσθενες, ὔμμε δ’ ἐκλάρωσεν πότμος
Ζηνὶ γενεθλίῳ· ὃς σὲ μὲν Νεμέᾳ πρόφατον,
᾿Αλκιμεδόντα δὲ πὰρ Κρόνου λόφῳ
θῆκεν ᾿Ολυμπιονίκαν.

ἦν δ᾽ ἐσορᾶν καλός, ἔργῳ τ᾽ οὐ κατὰ εἶδος ἐλέγχων

ἐξένεπε κρατέων πάλᾳ δολιχήρετμον Αἴγιναν πάτραν·

ἔνθα σώτειρα Διὸς ξενίου

πάρεδρος ἀσκεῖται Θέμις

Στ. β᾽.

ἔξοχ᾽ ἀνθρώπων. ὅ τι γὰρ πολὺ καὶ πολλᾷ ῥέπῃ,

ὀρθᾷ διακρίνειν φρενὶ μὴ παρὰ καιρόν

δυσπαλές· τεθμὸς δέ τις ἀθανάτων καὶ τάνδ᾽ ἁλιερκέα χώραν

παντοδαποῖσιν ὑπέστασε ξένοις

κίονα δαιμονίαν -

ὁ δ᾽ ἐπαντέλλων χρόνος

τοῦτο πράσσων μὴ κάμοι -

᾽Αντ. β᾽.

Δωριεῖ λαῷ ταμιευομέναν ἐξ Αἰακοῦ·

τὸν παῖς ὁ Λατοῦς εὐρυμέδων τε Ποσειδάν,

᾽Ιλίῳ μέλλοντες ἐπὶ στέφανον τεῦξαι, καλέσαντο συνεργόν

τείχεος, ἦν ὅτι νιν πεπρωμένον

ὀρνυμένων πολέμων

πτολιπόρθοις ἐν μάχαις

λάβρον ἀμπνεῦσαι καπνόν.

᾽Επ. β᾽.

γλαυκοὶ δὲ δράκοντες, ἐπεὶ κτίσθη νέον,

πύργον ἐσαλλόμενοι τρεῖς, οἱ δύο μὲν κάπετον,

αὖθι δ’ ἀτυζόμενω ψυχὰς βάλον,

εἷς δ’ ἐνόρουσε βοάσαις.

ἔννεπε δ’ ἀντίον ὁρμαίνων τέρας εὐθὺς Ἀπόλλων·

“Πέργαμος ἀμφὶ τεαῖς, ἥρως, χερὸς ἐργασίαις ἁλίσκεται·

ὣς ἐμοὶ φάσμα λέγει Κρονίδα

πεμφθὲν βαρυγδούπου Διός·

Στ. γ’.

οὐκ ἄτερ παίδων σέθεν, ἀλλ’ ἅμα πρώτοις ἄρξεται

καὶ τετράτοις.” ὣς ἦρα θεὸς σάφα εἴπαις

Ξάνθον ἤπειγεν καὶ Ἀμαζόνας εὐίππους καὶ ἐς Ἴστρον ἐλαύνων.

Ὀρσοτρίαινα δ’ ἐπ’ Ἰσθμῷ ποντίᾳ

ἅρμα θοὸν τάνυεν,

ἀποπέμπων Αἰακόν

δεῦρ’ ἀν’ ἵπποις χρυσέαις

Ἀντ. γ’.

καὶ Κορίνθου δειράδ’ ἐποψόμενος δαιτικλυτάν.

τερπνὸν δ’ ἐν ἀνθρώποις ἴσον ἔσσεται οὐδέν.

εἰ δ’ ἐγὼ Μελησία ἐξ ἀγενείων κῦδος ἀνέδραμον ὕμνῳ,

μὴ βαλέτω με λίθῳ τραχεῖ φθόνος·

καὶ Νεμέᾳ γὰρ ὁμῶς

ἐρέω ταύταν χάριν,

τὰν δ’ ἔπειτ’ ἀνδρῶν μάχας

’Επ. γ’.

ἐκ παγκρατίου. τὸ διδάξασθαι δέ τοι

εἰδότι ῥᾴτερον· ἄγνωμον δὲ τὸ μὴ προμαθεῖν·

κουφότεραι γὰρ ἀπειράτων φρένες.

κεῖνα δὲ κεῖνος ἂν εἴποι

ἔργα περαίτερον ἄλλων, τίς τρόπος ἄνδρα προβάσει

ἐξ ἱερῶν ἀέθλων μέλλοντα ποθεινοτάταν δόξαν φέρειν.

νῦν μὲν αὐτῷ γέρας ’Αλκιμέδων

νίκαν τριακοστὰν ἑλών·

Στρ. δ’.

ὃς τύχᾳ μὲν δαίμονος, ἀνορέας δ’ οὐκ ἀμπλακών

ἐν τέτρασιν παίδων ἀπεθήκατο γυίοις

νόστον ἔχθιστον καὶ ἀτιμοτέραν γλῶσσαν καὶ ἐπίκρυφον οἶμον,

πατρὶ δὲ πατρὸς ἐνέπνευσεν μένος

γήραος ἀντίπαλον·

’Αίδα τοι λάθεται

ἄρμενα πράξαις ἀνήρ.

’Αντ. δ’.

ἀλλ’ ἐμὲ χρὴ μναμοσύναν ἀνεγείροντα φράσαι

χειρῶν ἄωτον Βλεψιάδαις ἐπίνικον,

ἕκτος οἷς ἤδη στέφανος περίκειται φυλλοφόρων ἀπ’ ἀγώνων.

ἔστι δὲ καὶ τι θανόντεσσιν μέρος
κὰν νόμον ἐρδομένων·
κατακρύπτει δ᾽ οὐ κόνις
συγγόνων κεδνὰν χάριν.
᾽Επ. δ᾽.
῾Ερμᾶ δὲ θυγατρὸς ἀκούσαις ᾽Ιφίων
᾽Αγγελίας, ἐνέποι κεν Καλλιμάχῳ λιπαρόν
κόσμον ᾽Ολυμπίᾳ, ὅν σφι Ζεὺς γένει
ὤπασεν. ἐσλὰ δ᾽ ἐπ᾽ ἐσλοῖς
ἔργα θέλοι δόμεν, ὀξείας δὲ νόσους ἀπαλάλκοι.
εὔχομαι ἀμφὶ καλῶν μοίρᾳ νέμεσιν διχόβουλον μὴ θέμεν·
ἀλλ᾽ ἀπήμαντον ἄγων βίοτον
αὐτούς τ᾽ ἀέξοι καὶ πόλιν.